† ΧΡΙΣΤΙΑΝΙΚΟΝ ΚΑΤΗΧΗΤΙΚΟΝ ΔΕΛΤΙΟΝ

# ΕΙΡΗΝΗ

«Ἐδόθη εἰρήνη, ἐλύθη ὁ φόβος, ἤνθησεν ἡ χάρις».
(Ἰωάννης Χρυσόστομος Migne 52 309)

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
## ΓΡΗΓΟΡΙΟΥ
## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
## ΤΟΥ ΘΕΟΛΟΓΟΥ

«Εἰρήνην ἀφίημι ὑμῖν εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν».

(Ἰω. ιδ´ 17)



«Μακάριοι οἱ εἰρηνοποιοὶ ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται».

(Ματθ. ε´ 9)


ΕΠΙΜΕΛΕΙΑ
+ ΓΡΗΓΟΡΙΟΥ ΜΟΝΑΧΟΥ ΑΓΙΟΡΕΙΤΟΥ



ΑΘΗΝΑΙ
ΙΕΡΑ ΜΟΝΗ ΠΕΝΤΕΛΗΣ

# Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

## ΕΥΧΗ ΙΚΕΤΗΡΙΟΣ

Ὁ Ἱερεύς.

Ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, καὶ χαρισάμενος ἡμῖν παρρησίαν τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου, παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσφέρειν σοι τὴν φοβερὰν ταύτην καὶ ἀναίμακτον θυσίαν, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, εἰς ἄνεσιν καὶ ἀνάπαυσιν τῶν προκοιμηθέντων πατέρων ἡμῶν καὶ ἀδελφῶν, καὶ στηριγμὸν παντὸς τοῦ λαοῦ σου, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἀχρεῖον δοῦλον σου, καὶ ἐξάλειψόν μου τὰ παραπτώματα διὰ τὴν σὴν εὐσπλαχνίαν· καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκός τε καὶ πνεύματος· καὶ ἀπόστησον ἀπ' ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ ἀσύνετον· καὶ ἱκάνωσόν με, τῇ δυνάμει τοῦ Παναγίου σου

Πνεύματος, εἰς τὴν λειτουργίαν ταύτην, καὶ πρόσδεξαί με διὰ τὴν σὴν ἀγαθότητα, προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ εὐδόκησον Κύριε, δεκτὰ γενέσθαι τὰ προσαγόμενά σοι δῶρα ταῦτα, διὰ τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις· καὶ μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου· μηδὲ βδελύξῃ τὴν ἐμὴν ἀναξιότητα, ἀλλ' ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου παρένεγκε τὰ ἀνομήματά μου, ἵνα ἀκατακρίτως προσελθὼν κατενώπιον τῆς δόξης σου, καταξιωθῶ τῆς σκέπης σου, καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος· καὶ μὴ ὡς δοῦλος ἁμαρτίας, ἀποδόκιμος γένωμαι, ἀλ' ὡς δοῦλος σὸς εὕρω χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν, ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Ναί Δέσποτα παντοκράτορ, παντοδύναμε Κύριε, εἰσάκουσον τῆς δεήσεώς μου· Σὺ γὰρ εἶ ὁ τὰ πάντα ἐνεργῶν ἐν πᾶσι· καὶ τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοήθειάν τε καὶ ἀντίληψιν. Ὅτι φιλάνθρωπος εἶ, καὶ δεδοξασμένος ὑπάρχεις, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ ἁγίῳ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς.

Δέσποτα, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς σωτηριώδους παρουσίας σου καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος, καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου, παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσφέρειν καὶ λειτουργεῖν, τοῖς ἀχράντοις μυστηρίοις τῆς καινῆς σου διαθήκης. Αὐτός, ζωοποιέ, καὶ ἀγαθῶν χορηγέ, ποίησον σημεῖον εἰς ἀγαθόν, καὶ ἀξίωσον ἡμᾶς ἐν καθαρῷ συνειδότι λατρεῦσαί σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, καὶ ἐν ἁγιασμῷ ταύτην σοι τὴν θείαν προσενεγκεῖν λειτουργίαν, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος.

Μνήσθητι, ἀγαθέ, εὐεργέτα, Βασιλεῦ τῶν αἰώνων, καὶ τῆς κτίσεως ἁπάσης δημιουργέ, τῶν προσενεγκάντων, καὶ δι᾽ ὧν προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

Ὅτι ηὐλόγηται, καὶ ἡγίασται, καὶ δεδόξασθαι, τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, μετὰ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

Ὁ Ἱερεύς.

Δέσποτα, Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἁγίοις σου μαθηταῖς καὶ Ἀποστόλοις εἰπών, ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε καὶ οὐκ εἶδον καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν· ἡμῶν γὰρ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει. Καὶ καταξιωθείημεν ἄρτι τοῦ ἀκοῦσαι καὶ ποιῆσαι τὰ ἅγιά σου Εὐαγγέλια ταῖς λιταῖς τῶν ἱερῶν σου.

Μνημόνευσον οὖν, Δέσποτα, καὶ νῦν πάντων τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις, τοῦ μνημονεύειν αὐτῶν εἰς τὰς δεήσεις τὰς ἡμετέρας, καὶ τὰς αἰτήσεις, ἃς ἀναβιβάζομέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν. Τοὺς προτετελευτηκότας ἀνάπαυσον· τοὺς κάμνοντας ἔρρωσον· σὺ γὰρ εἶ ζωὴ ἡμῶν πάντων, καὶ ἴασις ἡμῶν πάντων, καὶ ἀνάστασις οἰκεὶα πάντων ἡμῶν· καὶ σοὶ τὴν δόξαν, τιμὴν καὶ προσκύνησιν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωαρχικῷ καὶ ὁμοουσίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ ἀναγνώστης ἀναγινώσκει τὸν Ἀπόστολον.

Ὁ Διάκονος ἀναγινώσκει τὸ Εὐαγγέλιον.

## Ὁ ΧΕΡΟΥΒΙΚΟΣ ΥΜΝΟΣ

Ὁ Λαός.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων, Χριστὸς ὁ Θεὸς ἡμῶν προσέρχεται σφαγιασθῆναι καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς. Προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν ἀγγέλων μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα Χερουβὶμ καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ, τὰς ὄψεις καλύπτοντα καὶ βοῶντα τὸν ὕμνον· Ἀλληλούϊα· ἀλληλούϊα· ἀλληλούϊα.

## ΕΙΣΟΔΟΣ ΜΕΤΑ ΤΩΝ ΤΙΜΙΩΝ ΔΩΡΩΝ (1)

Ὁ Διάκονος.

Πάντων ἡμῶν μνησθείη Κύριος ὁ Θεός, ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

1) Κῶδιξ Ἐθνικῆς Βιβλιοθήκης ἀρ. 802 αἰῶνος ΙΖ΄.

Κατὰ τὴν εἴσοδον τῶν τιμίων δώρων.

Ὁ ἱερεύς: Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης.

Ὁ διάκονος: Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

# ΕΥΧΗ ΤΗΣ ΠΡΟΘΕΣΕΩΣ

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς· αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος τῶν προσενεγκάντων, καὶ δι' οὓς προσήγαγον, καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων.

Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός, (ὁ β'. χορός). Ἀμήν[1].

---

1) Λειτουργία Βασιλείου τοῦ Μεγάλου

Κατὰ τὸν ὑπὸ τοῦ Coar δημοσιευθέντα κώδικα τοῦ Πυρομάλη, ἡ νίψις τῶν χειρῶν τοῦ Ἀρχιερέως καὶ τῶν λειτουργῶν, γίνεται μετὰ τὴν ἀπόθεσιν τῶν τιμίων δώρων ἐπὶ τῆς Ἁγίας Τραπέζης.

## ΕΥΧΗ ΤΟΥ ΚΑΤΑΠΕΤΑΣΜΑΤΟΣ

*Λεγομένη, μετὰ τὴν ἀπόθεσιν τῶν τιμίων Δώρων, ἐπὶ τῆς ἁγίας Τραπέζης.*

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι Βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ Ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας, καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου Χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφὶμ Κύριος, καὶ Βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος Ἅγιος καὶ ἐν Ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· Ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμέ-

νον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ Τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου Σῶμα καὶ τὸ τίμιον Αἷμα. Σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα καὶ δέομαί σου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου· ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ Δῶρα ταῦτα.

Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός, (ὁ α΄ χορός). Ἀμήν.

## ΣΥΝΑΠΤΗ

Ὁ Διάκονος.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Τὰ παιδία. Κύριε ἐλέησον.

Ὁ Διάκονος.

Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν, καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Τὰ παιδία. Κύριε ἐλέησον.

Ὁ Διάκονος.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Τὰ παιδία. Κύριε ἐλέησον.

Ὁ Διάκονος.

Ὑπὲρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Τὰ παιδία. Κύριε ἐλέησον.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ παιδία. Παράσχου Κύριε.

Ὁ Διάκονος.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ παιδία. Παράσχου Κύριε.

Ὁ Διάκονος.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ παιδία. Παράσχου Κύριε.

Ὁ Διάκονος.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ παιδία. Παράσχου Κύριε.

Ὁ Διάκονος.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ παιδία. Παράσχου Κύριε.

Ὁ Διάκονος.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀναιπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τὰ παιδία. Παράσχου Κύριε.

Ὁ Διάκονος.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Τὰ παιδία. Σοί Κύριε.

## ΕΥΧΗ ΙΛΑΣΤΗΡΙΟΣ

Ὁ Ἱερεύς.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ὁ ἐτάζων καρδίας καὶ νεφρούς· ὁ ἐμὲ τὸν ἀνάξιον καλέσας πρὸς τὴν σὴν λειτουργίαν ταύτην· μὴ βδελύξῃ με, μηδὲ τὸ πρόσωπόν σου ἀποστρέψῃς ἀπ' ἐμοῦ· ἀλλ' ἐξάλειψόν μου πάντα τὰ παραπτώματα, καὶ ἀπόπλυνόν μου τὸν ρύπον τοῦ σώματος, καὶ τὸν σπῖλον τῆς

ψυχῆς, καὶ ὅλον με ἁγίασον, ἵνα μὴ ἱκετεύων σε δοῦναι ἄφεσιν ἄλλοις ἁμαρτιῶν, αὐτὸς ἀδόκιμος γένωμαι. Ναί, Κύριε, μὴ ἀποστραφείης με τεταπεινωμένον καὶ κατησχυμένον, ἀλλ' ἐξαπόστειλόν μοι τὴν χάριν τοῦ ἁγίου σου Πνεύματος, καὶ ἀξίωσόν με παραστῆναι ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον ἀκατακρίτως, καὶ προσφέρειν σοι τὴν λογικὴν καὶ ἀναίμακτον προσφορὰν ταύτην, μετὰ συνειδήσεως καθαρᾶς, εἰς συγχώρησιν τῶν ἐμῶν ἁμαρτημάτων καὶ τῶν παραπτωμάτων καὶ εἰς ἄφεσιν τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, εἰς ἀνάπαυσιν καὶ ἀναψυχὴν τῶν προκεκοιμημένων πατέρων ἡμῶν καὶ ἀδελφῶν· καὶ εἰς στηριγμὸν παντὸς τοῦ λαοῦ σου, εἰς δόξαν σήν, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός. Ἀμήν.

## ΕΥΧΗ ΤΟΥ ΑΣΠΑΣΜΟΥ

Ὁ Ἱερεύς.

Ὁ ὢν καὶ προών, καὶ διαμένων εἰς τοὺς αἰῶνας· ὁ τῷ Πατρὶ συναΐδιος καὶ ὁμοούσιος, καὶ σύνθρονος καὶ συνδημιουργός. Ὁ διὰ μόνην ἀγαθότητα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶ-

ναι παραγαγὼν τὸν ἄνθρωπον, καὶ θέμενος αὐτὸν ἐν παραδείσῳ τρυφῆς. Ἀπάτῃ δὲ τοῦ ἐχθροῦ, καὶ παρακοῇ τῆς σῆς ἐντολῆς παραπεσόντα, ἀνακαινίσαι βουλόμενος, καὶ πρὸς τὸ ἀρχαῖον ἀναγαγεῖν ἀξίωμα, οὐκ ἀγγέλοις, οὐκ ἀρχαγγέλοις, οὐ πατριάρχαις, οὐ προφήταις, τὴν ἡμῶν ἐνεχείρησας σωτηρίαν· ἀλλ' αὐτὸς ἀτρέπτως σὰρξ γενόμενος, καὶ ἐνανθρωπήσας, κατὰ πάντα ὡμοιώθης ἡμῖν, ἐκτὸς μόνης τῆς ἁμαρτίας· μεσίτης ἡμῶν γενόμενος, καὶ τοῦ Πατρὸς καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ τὴν χρονίαν ἔχθραν καθελών, τὰ ἐπίγεια τοῖς ἐπουρανίοις συνῆψας. καὶ τὰ ἀμφότερα εἰς ἓν συνήγαγες καὶ τὴν ἔνσαρκον ἐπλήρωσας οἰκονομίαν. Καὶ μέλλων σωματικῶς ἐλαύνειν εἰς τοὺς οὐρανούς, θεϊκῶς τὰ πάντα πληρῶν, τοῖς ἁγίοις σου μαθηταῖς, καὶ ἀποστόλοις σου ἔλεγες· Ε ἰ ρ ή ν η ν ἀ φ ί η μ ι ὑ μ ῖ ν· ε ἰ ρ ή ν η ν τ ὴ ν ἐ μ ὴ ν δ ί δ ω μ ι ὑ μ ῖ ν. Ταύτην καὶ νῦν τὴν εἰρήνην ἡμῖν δώρησαι, Δέσποτα... παντὸς ἀποκάθαρον μολύσματος, παντὸς δόλου καὶ πάσης κακίας, καὶ πανουργίας, καὶ τῆς θανατηφόρου μνησικακίας, καὶ καταξίωσον ἡμᾶς ἀσπάσασθαι ἐν φιλήματι ἁγίῳ, εἰς τὸ μετασχεῖν ἀκατα-

κρίτως τῆς ἀθανάτου καὶ ἐπουρανίου σου δωρεᾶς· χάριτι τῆς εὐδοκίας τοῦ Πατρός, καὶ ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος. Σὺ γὰρ εἶ ὁ χορηγὸς καὶ δοτὴρ πάντων τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν, τὴν ἀΐδιον δοξολογίαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ ἁγίῳ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος. Ἀγαπήσωμεν ἀλλήλους.

Ὁ Λαὸς (ὁ β' χορός).

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ρύστης μου.

Ὁ Διάκονος.

Τὰς θύρας· τὰς θύρας.

Ἐν σοφίᾳ. Πρόσχωμεν.

## ΤΟ ΣΥΜΒΟΛΟΝ ΤΗΣ ΠΙΣΤΕΩΣ

Ὁ Λαός.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πα-

τρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ δι' οὗ τὰ πάντα ἐγένετο.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς. καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης, κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.

Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον τὸ λαλῆσαν διὰ τῶν προφητῶν, εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν.

Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν·
καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

Ὁ Διάκονος.

Στῶμεν καλῶς·
στῶμεν μετὰ φόβου·
Πρόσχωμεν, τῇ ἁγίᾳ ἀναφορᾷ
Ἐν εἰρήνῃ προσφέρειν. (1)

Ὁ Λαός, (ὁ α΄. χορός).
Ἔλεον, εἰρήνην, θυσίαν αἰνέσεως.

Ὁ Ἱερεύς.
Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν.

Ὁ Λαός, (ὁ β΄. χορός).
Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ Ἱερεύς.
Ἄνω σχῶμεν τὰς καρδίας.

---

1) Ἰω. τοῦ Χρυσοστόμου ὁμιλ. Δ΄. περὶ ἀκαταλήπτου «τὸ παρακελεύεσθαι τὸν διάκονον ἅπασι καὶ λέγειν.

Ὀρθοὶ στῶμεν καλῶς, οὐχ ἁπλῶς οὐδὲ εἰκῇ νενομοθέτηται».

Ὁ Λαός, (ὁ α΄. χορός).
Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ Ἱερεύς.
Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Λαός, (ὁ β΄. χορός).
Ἄξιον καὶ δίκαιον.

## Η ΑΓΙΑ ΑΝΑΦΟΡΑ

Ὁ Ἱερεύς.

Ἀληθῶς γὰρ ἄξιόν ἐστιν, καὶ δίκαιον σὲ αἰνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξάζειν τὸν μόνον ἀληθινὸν Θεόν, τὸν φιλάνθρωπον, τὸν ἄφραστον, τὸν ἀόρατον, τὸν ἀχώρητον, τὸν ἄναρχον, τὸν αἰώνιον, τὸν ἄχρονον, τὸν ἀμέτρητον, τὸν ἄτρεπτον, τὸν ἀπερινόητον· τὸν ποιητὴν τῶν ὅλων, τὸν λυτρωτὴν τῶν ἁπάντων· τὸν εὐϊλατεύοντα πάσαις ταῖς ἀνομίαις ἡμῶν· τὸν ἰώμενον πάσας τὰς νόσους ἡμῶν· τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν· τὸν στεφανοῦντα ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Σὲ αἰνοῦσιν ἄγγελοι· σὲ προσκυνοῦσιν ἀρχάγγελοι· σὲ ἀρχαὶ ὑμνοῦσι· σὲ κυριότητες ἀνακράζουσι· τὴν σὴν δόξαν ἐξουσίαι ἀναγορεύουσι· σοὶ θρόνοι τὴν εὐφημίαν ἀναπέμπουσι· χίλιαι χιλιάδες σοὶ παρεστήκασι, καὶ μύριαι μυριάδες σοι τὴν λειτουρ-

γίαν προσάγουσι. Σὲ ὑμνεῖ τὰ ἀόρατα· σὲ προσκυνεῖ τὰ φαινόμενα, πάντα ποιοῦντα τὸν λόγον σου, Δέσποτα.

Ὁ ὢν Θεὲ Κύριε ἀληθινέ, ἐκ Θεοῦ ἀληθινοῦ· ὁ τοῦ Πατρὸς ἡμῖν ὑποδείξας τὸ φέγγος· ὁ τοῦ ἁγίου Πνεύματος τὴν ἀληθῆ γνῶσιν ἡμῖν χαρισάμενος· ὁ τὸ μέγα τοῦτο τῆς ζωῆς ἀναδείξας τὸ μυστήριον· ὁ τὴν τῶν ἀσωμάτων τοῖς ἀνθρώποις χοροστασίαν πηξάμενος· ὁ τὴν τῶν Σεραφὶμ τοῖς ἐπὶ γῆς παραδοὺς ὑμνῳδίαν, δέξαι μετὰ τῶν ἀοράτων καὶ τὴν ἡμετέραν φωνήν. Σύναψον ἡμᾶς ταῖς ἐπουρανίαις δυνάμεσι· εἴπωμεν καὶ ἡμεῖς μετ' αὐτῶν, πᾶσαν ἄτοπον ἔννοιαν περιστείλαντες, βοήσωμεν ὥσπερ ἐκεῖναι, ταῖς ἀσιγήτοις ἀνακράζει φωναῖς ἀκαταπαύστοις στόμασι τὸ σὸν μεγαλεῖον ὑμνήσωμεν.

Σοὶ γὰρ παραστήκει κύκλῳ τὰ Σεραφίμ, ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν· ταῖς δὲ δυσὶ τοὺς πόδας ἑαυτῶν· καὶ ταῖς μὲν δυσὶ πετόμενα, καὶ ἐκέκραγεν ἕτερον πρὸς ἕτερον, τὸν ἐπινίκιον ὕμνον τῶν σωτηρίων ἡμῶν, μετὰ φωνῆς ἐνδόξου, λαμπρᾷ τῇ φωνῇ ὑμνολογοῦντα, ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα, καὶ λέγοντα.

Ὁ Λαός.

Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

Ὁ Ἱερεύς.

Ἅγιος, ἅγιος, ἅγιος εἶ, Κύριε, καὶ πανάγιος. Ἐξαίρετόν σου τῆς οὐσίας τὸ φέγγος· ἄφραστός σου τῆς σοφίας ἡ δύναμις. Οὐδεὶς λόγος ἐκμετρήσει τῆς σῆς Φιλανθρωπίας τὸ πέλαγος. Ἐποίησάς με ἄνθρωπον ὡς φιλάνθρωπος, οὐκ αὐτὸς τῆς ἐμῆς ἐπιδεὴς δουλείας, ἐγὼ δὲ μᾶλλον τῆς σῆς χρήζων δεσποτείας, οὐκ ὄντα με, δι' εὐσπλαγχνίαν παρήγαγες· οὐρανόν μοι πρὸς ὄροφον ἔστησας· γῆν μοι πρὸς βάσιν κατέπηξας· δι' ἐμὲ θάλασσαν ἐχαλίνωσας· δι' ἐμὲ τὴν φύσιν τῶν ζώων ἀνέδειξας· πάντα ὑπέταξας ὑπὸ τῶν ποδῶν μου· οὐδ' ἓν τῶν τῆς σῆς Φιλανθρωπίας ἐν ἐμοὶ πραγμάτων παρέλειπας.

Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρα σου· τῆς σῆς ἐξουσίας ἐν ἐμοὶ τὴν εἰκόνα ὑπέγραψας· τοῦ λόγου τὸ θεῖον δῶρον ἐνέθηκας· εἰς τὴν τρυφήν μοι τὸν παράδει-

σον ἤνοιξας· τῆς σῆς γνώσεως τὴν διδασκαλίαν παρέδωκας· ἔδειξάς μοι τὸ δένδρον τῆς ζωῆς· τοῦ θανάτου τὸ κέντρον ἐγνώρισας· ἑνός μοι φυτοῦ τὴν ἀπόλαυσιν ἀπηγόρευσας· ἐξ' αὐτοῦ μόνου οὖν εἶπας μοι μὴ φαγεῖν· ἔφαγον, νόμον ἠθέτησα· γνώμῃ τῆς ἐντολῆς παρημέλησα· ἐγὼ δὲ τοῦ θανάτου τὴν ἀπόφασιν ἥρπασα.

Ὁ Λαός. Κύριε ἐλέησον.

Ὁ Ἱερεύς.

Σύ μοι, ὦ Δέσποτα, τὴν τιμωρίαν μετέβαλες, ὡς ποιμὴν ἀγαθὸς εἰς πλανώμενον ἔδραμες· ὡς πατὴρ ἀληθινὸς ἐμοὶ τῷ πεπτωκότι συνήλγησας· πᾶσι τοῖς πρὸς ζωὴν φαρμάκοις κατέδησας. Αὐτός μοι προφήτας ἀπέστειλας· δι' ἐμὲ τὸν νοσοῦντα, νόμον εἰς βοήθειαν ἔδωκας. Αὐτός μοι διηκόνισας. Φῶς τοῖς πλανωμένοις ἀνέτειλας· τοῖς ἀγνοοῦσι, ὁ ἀεὶ παρὼν ἐπεδήμησας· ἐπὶ τὴν παρθενικὴν ἦλθες νηδύν. Ὁ ἀχώρητος Θεὸς ὤν, οὐχ ἁρπαγμὸν ἡγήσω τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσας μορφὴν δούλου λαβών· τὴν ἐμὴν ἐν σοὶ φύσιν ηὐλόγησας· ὑπὲρ ἐμοῦ τὸν νόμον ἐπλήρωσας, τοῦ πτώματός μου τὴν ἀνάστασιν ὑπηγόρευσας. Ἔδωκας τοῖς

ὑπὸ τοῦ ᾅδου κρατουμένοις τὴν ἄφεσιν· τοῦ νόμου τὴν ἀρὰν ἀπεσόβησας· ἐν σαρκὶ τὴν ἁμαρτίαν κατήργησας· τῆς σῆς ἐξουσίας μοι τὴν δυναστείαν ἐγνώρισας· τυφλοῖς τὸ βλέπειν ἀπέδωκας· νεκροὺς ἐκ τάφων ἀνέστησας· ρήματι τὴν φύσιν ἀνόρθωσας· τῆς σῆς εὐσπλαγχνίας μοι τὴν οἰκονομίαν ὑπέδειξας· τῶν πονηρῶν τὴν βίαν ὑπήνεγκας· τὸν νῶτόν σου δέδωκας εἰς μάστιγας· τὰς δὲ σιαγόνας σου ὑπέθηκας εἰς ραπίσματα· οὐκ ἀπέστρεψας δι' ἐμὲ τὸ πρόσωπόν σου ἀπὸ αἰσχύνης ἐμπτυσμάτων.

Ὁ Λαός. Κύριε ἐλέησον.

Ὁ Ἱερεύς.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἦλθες, μέχρι σταυροῦ τὴν ἐμὴν κηδεμονίαν ὑπέδειξας· τῷ σῷ τάφῳ τὴν ἐμὴν ἁμαρτίαν ἐνέκρωσας· εἰς οὐρανοὺς τὴν ἐμὴν ἀπαρχὴν ἀνεβίβασας· τῆς σῆς ἀφίξεώς μοι τὴν παρουσίαν ἐμήνυσας, ἐν ᾗ μέλλεις ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ὁ Λαός. Κατὰ τὸ ἔλεός σου Κύριε.

Ὁ Ἱερεύς.

Ταύτης μου τῆς ἐλευθερίας προσφέρω σοι τὰ σύμβολα, τοῖς ρήμασί σου ἐπιγράφω τὰ πράγματα. Σύ μοι τὴν μυστικὴν ταύτην παρέδωκας τῆς σῆς σαρκός, ἐν ἄρτῳ καὶ οἴνῳ τὴν μέθεξιν.

Τῇ νυκτὶ ᾗ παρεδίδης αὐτὸς σεαυτόν, τῆς σεαυτοῦ ἐξουσίας.

Λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις καὶ ἀχράντοις καὶ ἀμωμήτοις σου χερσίν, ἔνευσας ἄνω πρὸς ἴδιόν σου Πατέρα Θεὸν ἡμῶν καὶ Θεὸν τῶν ὅλων· ηὐχαρίστησας, ηὐλόγησας, ἡγίασας, ἔκλασας, μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς, καὶ ἀποστόλοις σου, εἶπας· Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ Σῶμα, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν κλώμενον, καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως μετὰ τὸν δειπνῆσαι, λαβὼν ποτήριον, καὶ ἐκέρασας αὐτὸ ἐκ γεννήματος ἀμπέλου καὶ ἐξ ὕδατος, ηὐχαρίστησας, ηὐλόγησας, ἡγίασας, μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις σου εἶπας· Πίετε ἐξ αὐτοῦ πάν-

τες· Τοῦτό μού ἐστι τὸ Αἷμα, τὸ τῆς καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἐσθίετε τὸν ἄρτον τοῦτον, πίνετε δὲ καὶ τὸ ποτήριον τοῦτο, τὸν ἐμὸν θάνατον καταγγέλλετε καὶ τὴν ἐμὴν Ἀνάστασιν ὁμολογεῖτε, ἄχρις οὗ ἂν ἔλθω.

Ὁ Λαός.

Ἀμήν. Τὸν θάνατόν σου Κύριε, καταγγέλλομεν καὶ τὴν Ἀνάστασίν σου ὁμολογοῦμεν.

Ὁ Ἱερεύς.

Ὥστε οὖν, Δέσποτα, μεμνημένοι τῆς ἐπὶ γῆς συγκαταβάσεως, καὶ τοῦ ζωοποιοῦ θανάτου, καὶ τῆς τριημέρου σου ταφῆς, καὶ τῆς ἐκ νεκρῶν Ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδρας, καὶ τῆς μελλούσης ἀπ' οὐρανῶν δευτέρας καὶ φοβερᾶς, καὶ ἐνδόξου σου παρουσίας.

Τὰ σὰ ἐκ τῶν σῶν δώρων σοι προσφέροντες, κατὰ πάντα, καὶ διὰ πάντα καὶ ἐν πᾶσι.

Ὁ Λαός. Σὲ αἰνοῦμεν σὲ εὐλογοῦμεν.

Ὁ Διάκονος. Κλίνατε Θεῷ μετὰ φόβου.

Ὁ Ἱερεύς.

Αὐτός, οὖν, Δέσποτα, τῇ σῇ φωνῇ τὰ προκείμενα μεταποίησον· αὐτὸς παρὼν τὴν μυστικὴν ταύτην λειτουργίαν κατάρτισον· αὐτὸς ἡμῖν τῆς σῆς λατρείας τὴν μνήμην διάσωσον. Αὐτὸς τὸ Πνεῦμά σου τὸ πανάγιον κατάπεμψον, ἵνα ἐπιφοιτῆσαν τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ, ἁγιάσῃ καὶ μεταποιήσει τὰ προκείμενα, τίμια καὶ ἅγια Δῶρα ταῦτα, εἰς αὐτὸ τὸ Σῶμα καὶ τὸ Αἷμα τῆς ἡμετέρας ἀπολυτρώσεως.

Ὁ Λαός. Ἀμήν.

Ὁ Διάκονος. Πρόσχωμεν.

Ὁ Ἱερεύς.

Καὶ ποιήσει τὸν μὲν ἄρτον τοῦτον ἵνα γένηται εἰς ἅγιον Σῶμά σου, τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος, καὶ παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ Λαός. Ἀμήν.

Ὁ Ἱερεύς.

Τὸ δὲ ποτήριον τοῦτο, τὸ τίμιόν σου Αἷμα τὸ τῆς καινῆς Διαθήκης σου τοῦ Κυρίου δὲ καὶ Σωτῆρος, καὶ παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ εἰς ζωὴν τὴν αἰώνιον, τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ Λαός. Ἀμήν.

## ΔΕΗΣΕΙΣ

Ὁ Διάκονος.

Σὲ δυσωποῦμεν, Χριστὲ ὁ Θεὸς ἡμῶν.

Τῆς Ἐκκλησίας σου, Κύριε, τὴν κρηπῖδα κατάπηξον.

Τῆς ἀγάπης ἡμῖν τὴν ὁμόνοιαν ρίζωσον.

Τῆς πίστεως τὴν ἀλήθειαν αὔξησον.

Τῆς σῆς εὐσεβείας ἡμῖν τὴν ὁδὸν εὐθυτόμησον.

Τοὺς ποιμένας ὀχύρωσον.

Τοὺς ποιμενομένους ἀσφάλισαι.

Δὸς τῷ κλήρῳ τὴν εὐκοσμίαν.

Τοῖς μοναχοῖς τὴν ἐγκράτειαν.

Τοῖς ἐν παρθενίᾳ τὸ σωφρονεῖν.

Τοῖς ἐν σεμνῷ γάμῳ τὴν εὐζωΐαν.

... ... ... ... ... ... ... ... ... ... ...

Τοῖς ἐν μετανοίᾳ τὸ ἔλεος.

Τοῖς πλουτοῦσι τὴν ἀγαθότητα.

Τοῖς πενομένοις τὴν ἐπικουρίαν.

Τοῖς πτωχοῖς τὴν βοήθειαν.
Τοὺς πρεσβύτας περίζωσον.
Τοὺς νέους σωφρόνισον.
Τοὺς ἀπίστους ἐπίστρεψον.
Παῦσον τῆς Ἐκκλησίας τὰ σχίσματα.
Τῶν αἱρέσεων κατάλυσον τὰ φρυάγματα.
Πάντας ἡμᾶς πρὸς τὴν τῆς σῆς εὐσεβείας ὁμόνοιαν σύναψον.

Ὁ Λαός. Κύριε ἐλέησον.

Ὁ Ἱερεύς.

Μνήσθητι, Κύριε, τῆς εἰρήνης, τῆς ἁγίας μόνης καθολικῆς καὶ ἀποστολικῆς σου Ἐκκλησίας, τῆς ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης, καὶ τῶν ἐν αὐτῇ ὀρθοδόξων ἐπισκόπων, τῶν ὀρθοτομησάντων τὸν λόγον τῆς ἀληθείας. Μνήσθητι Κύριε, τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου Ἀρχιερέως ἡμῶν.

Ὁ Λαός. Κύριε ἐλέησον.

Ὁ Ἱερεύς.

Μνήσθητι, Κύριε, τῶν εὐσεβῶς βασιλευσάντων. Μνήσθητι, Κύριε, τῶν ἐν τῷ παλατίῳ, ἡμῶν ἀδελφῶν πιστῶν, καὶ ὀρθοδόξων καὶ παντὸς στρατοπέδου.

Μνήσθητι, Κύριε, τῶν προσφερόντων τὰ ἅγια δῶρα ταῦτα, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν προσεκόμισαν, καὶ μισθὸν οὐράνιον παράσχου πᾶσιν αὐτοῖς.

Μνήσθητι, Κύριε, καὶ τῶν ἐν ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς· καὶ τῶν ἐν αἰχμαλωσίαις ὄντων ἀδελφῶν ἡμῶν, καὶ εἰρηνικὰς ἀποκαταστάσεις εἰς τὰ ἴδια χάρισαι.

Ὁ Διάκονος.

Προσεύξασθε ὑπὲρ τῶν αἰχμαλώτων.

Ὁ Λαός. Κύριε ἐλέησον.

Ὁ Ἱερεύς.

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀθλίας καὶ ταλαιπώρου ψυχῆς, ταπεινώσεώς μου, καὶ συγχώρησόν μοι πάντα τὰ ἐμὰ πλημμελήματα, καὶ ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, περίσσευσόν σου τὴν χάριν.

Ὁ γὰρ λαός σου, καὶ ἡ Ἐκκλησία σου ἱκετεύει σε, καὶ διὰ σοῦ καὶ σὺν σοὶ τὸν Πατέρα λέγουσα:

Ὁ Λαός.

Ἐλέησον ἡμᾶς, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν (Γ').

Ὁ Ἱερεύς.

Μνήσθητι, Κύριε, τοῦ ἀέρος καὶ τῶν καρπῶν τῆς γῆς.

Μνήσθητι, Κύριε, τῆς συμμέτρου ἀναβάσεως τῶν ποταμίων ὑδάτων.

Μνήσθητι, Κύριε, τῶν ὑετῶν καὶ τῶν σπορίμων τῆς γῆς.

Εὔφρανον πάλιν καὶ ἀνακαίνισον τὸ πρόσωπον τῆς γῆς.

Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς, παράστησον ἡμῖν αὐτὰ εἰς σπέρμα καὶ εἰς θερισμόν, καὶ νῦν εὐλογῶν εὐλόγησον· τὴν ζωὴν ἡμῶν οἰκονόμησον.

Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, διὰ τοὺς πτωχοὺς τοῦ λαοῦ σου, διὰ τὴν χήραν, καὶ τὸν ὀρφανόν, διὰ τὸν ξένον καὶ τὸν προσήλυτον, καὶ δι' ἡμᾶς πάντας τοὺς ἐλπίζοντας ἐπὶ σοί, καὶ ἐπικαλουμένους τὸ ὄνομά σου τὸ ἅγιον. Οἱ γὰρ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἀγαθότητά σου, ὁ διδοὺς τροφὴν πάσι σαρκί. Πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, ἵνα ἐν πᾶσι, πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, πε-

ρισσεύωμεν εἰς πᾶν ἔργον ἀγαθόν, τοῦ ποιεῖν τὸ θέλημά σου τὸ ἅγιον.

Ὁ λαός. Κύριε ἐλέησον.

## ΔΕΗΣΕΙΣ

Ὁ Διάκονος.

Χάρισαι τῷ λαῷ σου τὴν ὁμόνοιαν.
Τῷ κόσμῳ τὴν εὐστάθειαν.
Τῷ ἀέρι τὴν εὐκρασίαν.
Τοῖς νοσοῦσι τὴν σωτηρίαν.
Τοῖς δεομένοις τὴν ἀνάψυξιν.
Τοῖς ἐν ἐξορίαις τὴν ἄνεσιν.
Τοῖς ὀρφανοῖς τὴν βοήθειαν.
Ταῖς χήραις τὴν ἀντίληψιν.
Τοῖς θλιβομένοις ἐπάρκησον εἰς ἀγαθόν.

... ... ... ... ... ... ... ... ... ... ...

Τοὺς ἑστῶτας ὀχύρωσον.
Τοὺς πεπτωκότας ἔγειρον.
Τοὺς ἑστηκότας ἀσφάλισαι.
Τῶν κεκοιμημένων μνήσθητι.
Τῶν ἐν ὁμολογίᾳ τὰς πρεσβείας πρόσδεξαι.

Τοὺς ἡμαρτηκότας καὶ μετανοήσαντας, συναρίθμησον μετὰ τῶν πιστῶν σου.

Τοὺς πιστοὺς συναρίθμησον μετὰ μαρτύρων σου.

Μιμητὰς τοὺς παρόντας ἐν τῷ τόπῳ τούτῳ τῶν ἀγγέλων κατάστησον· καὶ ἡμᾶς τῇ σῇ χάριτι, πρὸς τὴν σὴν κεκλημένους διακονίαν, ἀναξίους ὄντας, ὑπόδεξαι.

Ὁ λαός. Κύριε ἐλέησον.

Ὁ Ἱερεύς.

Μνήσθητι, Κύριε, τῆς Ἁγίας Μονῆς ταύτης, καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει οἰκούντων ἐν αὐτῇ, καὶ πάσης πόλεως καὶ χώρας, σὺν παντὶ τῷ κόσμῳ αὐτῶν. Καὶ ρῦσαι ἡμᾶς ἀπὸ λιμοῦ καὶ λοιμοῦ, σεισμοῦ καὶ καταποντισμοῦ, πυρὸς καὶ ἀπὸ αἰχμαλωσίας βαρβάρων, καὶ ἀπὸ τῶν ἀλλοτρίων μαχαιρῶν καὶ ἐπαναστάσεως ἐχθρῶν τε καὶ αἱρετικῶν.

Ὁ λαός. Κύριε ἐλέησον.

Ὁ Ἱερεύς.

Μνήσθητι, Κύριε, τῶν προλαβόντων ὁσίων Πατέρων ἡμῶν ὀρθοδόξων Ἐπισκόπων, καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων ἁγίων Πατέρων, Πατριαρχῶν, Ἀποστόλων, Προφητῶν, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν καὶ παντὸς πνεύματος δικαίου, ἐν πίστει Χριστοῦ τετελειωμένου.

Ἐξαιρέτως τῆς Παναγίας, ὑπερενδόξου ἀ-

χράντου, ὑπερευλογημένης, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Ὁ Λαός.

Θεοτόκε παρθένε, χαῖρε κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἱερεύς.

Τοῦ ἁγίου, ἐνδόξου προφήτου, προδρόμου, Βαπτιστοῦ καὶ μάρτυρος Ἰωάννου· (τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος· τοῦ ἁγίου καὶ μακαρίου Πατρὸς ἡμῶν Μάρκου, τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ· καὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου)· καὶ ὧν ἐν τῇ σήμερον ἡμέρᾳ τὴν ὑπόμνησιν ποιούμεθα, καὶ παντὸς χοροῦ τῶν ἁγίων σου, ὧν ταῖς εὐχαῖς καὶ πρεσβείαις, καὶ ἡμᾶς ἐλέησον, καὶ σῶσον διὰ τὸ ὄνομά σου τὸ ἅγιον τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς.

Μνήσθητι, Κύριε, τῶν προκεκοιμημένων ἐν τῇ ὀρθοδόξῳ πίστει πατέρων ἡμῶν καὶ ἀδελφῶν, καὶ ἀνάπαυσον τὰς ψυχὰς αὐτῶν μετὰ ὁσίων καὶ δικαίων. Ἔκθρεψον, σύναξον εἰς τόπον χλόης, ἐπὶ ὕδατος ἀναπαύσεως, ἐν πα-

ραδείσῳ τρυφῆς, καὶ μετὰ τούτων, ὧν εἴπομεν τὰ ὀνόματα αὐτῶν.

Μνήσθητι, Κύριε, ὧν ἐμνήσθημεν, καὶ ὧν οὐκ ἐμνήσθημεν, πιστῶν καὶ ὀρθοδόξων, μεθ' ὧν καὶ ἡμῖν σὺν αὐτοῖς, ὡς ἀγαθὸς καὶ Φιλάνθρωπος Θεός.

Ὁ Λαός. *Ἄνες, ἄφες, συγχώρησον.*

Ὁ Ἱερεύς.

Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ἐλεήμων, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. Ὁ Θεὸς ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου· ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ὁ ποιῶν ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν· ἵνα σου καὶ ἐν τούτῳ καθὼς καὶ ἐν παντὶ δοξασθῇ καὶ ὑψωθῇ καὶ ὑμνηθῇ, καὶ εὐλογηθῇ καὶ ἁγιασθῇ τὸ πανάγιον καὶ ἔντιμον, καὶ εὐλογημένον σου ὄνομα, ἅμα τῷ ἀχράντῳ σου Πατρὶ καὶ ἁγίῳ Πνεύματι.

Ὁ Λαός. *Ὡς ἦν, καὶ ἔστι, καὶ ἔσται.*

## ΕΥΧΗ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟΣΕΥΧΗΣ

Ὁ Ἱερεύς. Εἰρήνη πᾶσι.
Ὁ Λαός. Καὶ τῷ Πνεύματί σου.

Ὁ Ἱερεύς.

Ἰησοῦ Χριστὲ τὸ σωτήριον ὄνομα, ὁ τὰ θεῖα καὶ ἄχραντα καὶ ἐπουράνια ταῦτα μυστήρια διατυπώσας· ὁ τοὺς μὲν ἱερεῖς ἐν τάξει ὑπηρετῶν στήσας· διὰ δὲ τῆς ἀοράτου σου δυνάμεως αὐτὰ μεταστοιχειώσας· ὁ τοῖς καθαροῖς τῇ καρδίᾳ ἐπιφαινόμενος, καὶ τοῖς γνησίως προσιοῦσι διὰ σεαυτοῦ παρέχοντος.
Ὁ τότε εὐλογήσας, καὶ νῦν εὐλόγησον.
Ὁ τότε ἁγιάσας, καὶ νῦν ἁγίασον.
Ὁ τότε κλάσας, καὶ νῦν διάθρεψον.
Ὁ τότε διαδιδοὺς τοῖς σεαυτοῦ μαθηταῖς καὶ Ἀποστόλοις, καὶ νῦν, Δέσποτα, διάδος ἡμῖν καὶ παντὶ τῷ λαῷ σου, Φιλάνθρωπε, παντοκράτορ, Κύριε ὁ Θεὸς ἡμῶν.

Ὁ ὤν, ὁ ἦν, ὁ ἐλθών, καὶ πάλιν ἐρχόμενος· ὁ ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενος· ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· ὁ μέγας Ἀρχιερεύς, ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν· τὸ φῶς τὸ ἀληθινὸν τὸ πρὸ πάντων τῶν αἰώνων. Ὅς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ τοῦ ἰδίου σου Πατρός· ὁ εὐδοκήσας καὶ καταξιώσας κατελθεῖν ἐκ τῶν ὑψωμάτων τοῦ οὐρανοῦ, ἐκ κόλπων τοῦ ἀπροσίτου φωτὸς καὶ ἀληθινοῦ καὶ ἀοράτου

μόνου Πατρός. Σαρκωθεὶς δὲ ἐκ Πνεύματος ἁγίου, καὶ ἐκ τῆς πανενδόξου, ἀχράντου, ἁγίας, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ τελείως ἐνανθρωπήσας...

Σταυρωθεὶς δὲ ὑπὸ Ποντίου Πιλάτου, καὶ ὁμολογήσας τὴν καλὴν ὁμολογίαν· καὶ παθὼν καὶ ταφεὶς καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς οὐρανούς, καὶ καθίσας ἐν τῇ δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Πατρος, πατήσας τὸν θάνατον, καὶ τὸν ἅδην σκυλεύσας, συντρίψας πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροὺς συνθλάσας, καὶ τὸν αἰχμάλωτον Ἀδὰμ ἀνακαλεσάμενος ἐκ φθορᾶς, καὶ ἡμᾶς ἐλευθερώσας ἐκ τῆς τοῦ διαβόλου δουλείας...

Σὺ γὰρ εἶ ὁ Λόγος τοῦ Πατρός, ὁ προαιώνιος Θεός, ὁ μέγας Ἀρχιερεύς, ὁ ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων σαρκωθεὶς καὶ ἐνανθρωπήσας, καὶ προσκαλεσάμενος ἑαυτῷ ἐκ πάντων τῶν ἐθνῶν γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸν εἰς περιποίησιν. Δι' ὃ δεόμεθα, καὶ παρακαλοῦμεν σε Φιλάνθρωπε, ἀγαθὲ Κύριε, μὴ εἰς ἔλεγχον καὶ ὄνειδος, μὴ εἰς κρῖμα, μηδὲ εἰς κατάκριμα τῶν ἡμετέρων ἁμαρτιῶν γενηθή-

τω ἡ θυσία αὕτη· ὑπὲρ γὰρ τῶν ἀσθενειῶν ἡμῶν προσηνέγκαμεν· ἀλλ' ὥσπερ, τὰ πανάγιάσου τίμια δῶρα ταῦτα, πάσης ἁγιωσύνης ἐμπλῆσαι κατηξίωσας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ παναγίου σου Πνεύματος ἐπ' αὐτῶν, οὕτως καὶ ἡμῶν τῶν ἁμαρτωλῶν δούλων σου, ἁγιᾶσαι καταξίωσον τὰς ψυχάς, τὰ σώματα, τὰ πνεύματα, τὰς συνειδήσεις, ὅπως πεφωτισμένῃ ψυχῇ, ἀνεπαισχύντῳ προσώπῳ, καρδίᾳ καθαρᾷ συνειδήσει ἀνυποκρίτῳ, ἡγιασμένοις χείλεσιν, ἀγάπῃ τελείᾳ, ἐλπίδι ἀσφαλεῖ, τολμῶμεν μετὰ παρρησίας, ἄνευ φόβου, λέγειν τὴν ἁγίαν προσευχήν, ἣν μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἱεροῖς Ἀποστόλοις. Ὅταν προσεύχησθε, οὕτω προσεύχεσθε ὑμεῖς.

Ὁ Λαός.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς·
ἁγιασθήτω τὸ ὄνομά σου·
ἐλθέτω ἡ βασιλεία σου·
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον·
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ρῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς.

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας.

Ὁ Λαός. Ἀμήν.

Ὁ Ἱερεύς.

Ναί, Κύριε, Κύριε, ὁ δεδωκὼς ἡμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ, σύντριψον καὶ καθυπόταξον τὰς κεφαλὰς τῶν ἐχθρῶν ἡμῶν ὑπὸ τοὺς πόδας ἐν τάχει, καὶ πᾶσαν τὴν κακότεχνον αὐτῶν ἐπίνοιαν τὴν καθ' ἡμῶν διασκέδασον, ὅτι σὺ εἶ Βασιλεὺς καὶ Σωτὴρ πάντων, Χριστὲ ὁ Θεός· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ τὴν προσκύνησιν ἀναπέμπομεν, καθ' ἑκάστην ἡμέραν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός. Ἀμήν.

Ὁ Διάκονος.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Λαός. Σοί, Κύριε.

# ΕΥΧΗ ΤΗΣ ΚΕΦΑΛΟΚΛΙΣΙΑΣ

Ὁ Ἱερεύς.

Ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ τῆς γῆς, εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, ὁ τῆς σῆς χάριτος πᾶσαν ἐξαπλώσας τὴν εὐθηνίαν· ὁ ποιῶν πάντα ὑπερεκπερισσοῦ, ὧν αἰτούμεθα, ἢ νοοῦμεν· Φιλάνθρωπε ἀγαθέ, ἔκτεινον τὴν χεῖράν σου τὴν ἀόρατον, τὴν εὐλογημένην, τὴν μεστὴν ἐλέους καὶ οἰκτιρμῶν, καὶ εὐλογῶν εὐλόγησον τοὺς δούλους σου, καὶ καθάρισον αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος· καὶ ποίησον ἡμᾶς μετόχους καὶ συσσώμους γενέσθαι· τῇ σῇ χάριτι, ὅπως ἐν ἁγιότητι καὶ δικαιοσύνῃ σοὶ τὴν ἱκεσίαν προσάγοντες (ἀξίως μετάσχομεν τῶν προκειμένων ἡμῖν ἀγαθῶν τοῦ ἀχράντου σώματός σου καὶ τιμίου αἵματός σου) (Σὺ γὰρ προσκυνητὸς καὶ δεδοξασμένος ὑπάρχεις) καὶ σοὶ πρέπει πᾶσα δόξα, μεγαλωσύνη κράτος τε καὶ ἐξουσία, ἅμα τῷ ἀχράντῳ σου Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός. Ἀμήν.

## ΕΥΧΗ ΤΗΣ ΘΕΙΑΣ ΜΕΤΑΛΗΨΕΩΣ

Ὁ Ἱερεύς.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιᾶσαι ἡμᾶς τοὺς ἐπικλίνοντάς σοι, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών. Καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου καὶ τοῦ τιμίου Αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Ὁ Διάκονος. Μετὰ φόβου Θεοῦ πρόσχωμεν.

Ὁ Ἱερεύς. Τὰ Ἅγια τοῖς Ἁγίοις.

Ὁ Λαός.

Κύριε ἐλέησον. Εἷς Πατὴρ ἅγιος, εἷς Υἱὸς ἅγιος, ἓν Πνεῦμα ἅγιον. Ἀμήν.

Ὁ Ἱερεύς. Ὁ Κύριος μετὰ πάντων ἡμῶν.

Μελίζεται καὶ διαμερίζεται τὸ τίμιον καὶ ἅγιον καὶ ἄχραντον καὶ ζωοποιὸν Σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τὸ μελιζόμενον καὶ μὴ διαιρούμενον· τὸ ἐσθιόμενον καὶ μὴ δαπανώμενον, τοὺς δὲ ἐσθίοντας ἁγιάζον· πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος.
Εὐλόγησον Δέσποτα τὸ ζέον.

Ὁ Ἱερεύς.
Εὐλογημένη ἡ ζέσις τῶν ἁγίων σου πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος.
Ζέσις πίστεως, πλήρης Πνεύματος ἁγίου.

Ὁ Διάκονος.
Ὅ σ ι ο ι μετὰ φόβου Θεοῦ καὶ πίστεως προσέλθετε.[1]
Εἰς ἄφεσίν σου ἁμαρτιῶν καὶ ζωὴν αἰώνιον.

Ὁ Ἱερεύς.
Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον αὐτούς, ἕως τοῦ αἰῶνος.

---

1) Εἰλητάρια καὶ Κώδικες 124, Ἁγίου Ὄρους καὶ Πάτμου. «Μετὰ φόβου Θεοῦ καὶ πίστεως προσέλθετε».

Ὁ Λαός, (ὁ α΄. χορός).

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ὁ Ἱερεύς.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός. Ἀμήν.

Ὁ Διάκονος.

Ὀρθοὶ οἱ μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς· ὁ Θεός, τῇ σῇ χάριτι.

Ὁ Λαός, (ὁ β΄. χορός). Κύριε, ἐλέησον.

Ὁ Διάκονος.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν εἰρηνι-

κὴν καὶ ἀναμάρτητον, διελθεῖν αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Λαός. Σοὶ Κύριε.

## ΕΥΧΗ ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ

Ὁ Ἱερεύς.

Εὐχαριστοῦμεν σοι Κύριε ὁ Θεὸς ἡμῶν, ἐπὶ τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ἐπουρίων σου Μυστηρίων, ἃ ἔδωκας ἡμῖν ἐπ' εὐεργεσίᾳ, καὶ ἁγιασμῷ καὶ ἰάσει τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν. Αὐτός, Δέσποτα τῶν ἁπάντων, δὸς γενέσθαι ἡμῖν τὴν κοινωνίαν τοῦ ἁγίου Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ Βήματος τοῦ Χριστοῦ σου.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ

καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός. Ἀμήν.

Ὁ Ἱερεύς.

Ὁ ὤν, ὁ ἦν, ὁ ἐλθὼν εἰς τὸν κόσμον τοῦ φωτίσαι αὐτόν· ὁ σαρκωθεὶς ἐνανθρωπήσας, καὶ σταυρωθεὶς δι' ἡμᾶς, καὶ παθὼν ἑκουσίως σαρκί, καὶ μείνας ἀπαθὴς ὡς Θεός· καὶ ταφείς, καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς οὐρανούς, καὶ καθίσας ἐν δεξιᾷ τῆς μεγαλωσύνης τῆς δόξης τοῦ Πατρός, τό τε Θεῖον καὶ ἅγιον καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον καὶ ὁμόδοξον καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους σου μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι' αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστέ, ὁ ἀληθινὸς Θεὸς ἡμῶν, σῶσον, καὶ ἐλέησον καὶ εὐλόγησον πάντα Χριστιανόν.

Ὁ Λαός. Ἀμήν.

Ἀπολύεσθε ἐν εἰρήνῃ.